# 19 IULIE

# EGKOMIA SF.CUVIOASE MACRINA DE LA CEZAREEA CAPADOCIEI

## EGKOMIER-GR

www.tezaurliturgic.ro



**ΕΓΚΩΜΙΑ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΜΑΚΡΙΝΑΝ**

Ποίημα Γεωργίου Ἀποστολάκη, δικαστοῦ

# Στάσις α΄

Ἦχος πλ. α΄. Ἡ ζωή ἐν τάφῳ.

Μ ακαρίζομέν σε,

ὦ Μακρῖνα σεπτή,

καί τιμῶμέν σου τήν μνήμην τήν ἔνδοξον·

ἐκκλησίας γάρ ἐδείχθης θησαυρός.

Μ ακαρίζομέν σε,

ὦ Μακρῖνα σεπτή,

ὡς φωστῆρα τῶν παρθένων καί καύχημα,

ἅς ἑλκύεις πρός ἀζύγων βιοτήν.

Κατ' ἀλφάβητον

Ἀ σκητῶν τόν βίον,

ἐκζητοῦσα θερμῶς,

χοϊκῶν τήν ματαιότητα ἔφευγες,

τοῦ Χριστοῦ ἐρασαμένη ἐκ παιδός.

Β ασιλείου θείου,

Γρηγορίου σοφοῦ,

Ναυκρατίου καί τοῦ Πέτρου αὐτάδελφον,

σύν αὐτοῖς δοξάζομέν σε οἱ πιστοί.

Γ όνος Βασιλείου,

Ἐμμελείας καρπός,

καί Μακρίνης τῆς προγόνου σου βλάστημα,

σύν αὐτοῖς ἐν Παραδείσῳ νῦν τρυφᾷς.

Δ όξης θείας Μῆτερ

νεμομένη Χριστοῦ,

ἀδοξίας τῶν παθῶν ἐλευθέρωσαι

τούς τιμῶντάς σου τήν μνήμην εὐλαβῶς.

Ἐ ν ἀσκήσει πλήρει,

ἐναρέτῳ ζωῇ,

προσευχῇ τε καί νηστείᾳ ἐδούλωσας

τῶν παθῶν σου τά σκιρτήματα, Σεμνή.

Ζ ήλου θείου πόθον

δός ἡμῖν, Ἀγαθή,

ὡς ἠγάπησεν καρδία σου Κύριον,

ᾧ προσήχθης ὥσπερ νύμφη νοερῶς.

Ἡ συχίαν ἄκραν

ἐκζητοῦσα νοός,

πρός ἀσκήσεως τά σκάμματα ἔδραμες·

διό δῆμός σε γεραίρει μοναστῶν.

Θ ησαυρός ἐδείχθης

Ἐκκλησίας Χριστοῦ

καί παρθένων τό ὡραϊσμα ἵστασαι,

στήλη ἔμψυχος καί λύχνος φαεινός.

Ἱ λασμόν ἐξαίτει

συμπαθῶς τόν Χριστόν

τοῖς προστρέχουσι, Μακρῖνα, τῇ σκέπῃ σου

καί ἀπάλλαξον παθῶν φθοροποιῶν.

Κ λῆσιν θείαν Μῆτερ,

σταθερῷ λογισμῷ,

είσακούσασα Σεμνεῖον ἐδόμησας,

ἐργαστήριον ἐνθέων ἀρετῶν.

Λ αμπρυνθεῖσα θείῳ

φωτισμῷ μυστικῶς

συμπολίτις τῶν ἀγγέλων παρίστασαι,

τρισηλίου ἀπολαύουσα φωτός.

Μ οναζόντων ἄστρον

καί παρθένων πυρσός

εἶ, Μακρῖνα θεοφόρε καί πάνσοφε,

μετιοῦσα βίον ἄϋλον ἐν γῇ.

Ν ᾶμα, Μῆτερ, θεῖον

τοῖς σοῖς τέκνοις δωρῇ

τάς ψυχάς καταπυρσεύουσα ἄνωθεν

καί ἀζύγους κατευθύνεις πρός Θεόν.

Ξ ενωθεῖσα ὕλης

καί παθῶν σαρκικῶν

ἀρετῶν ἡ ὑποτύπωσις γέγονας

καί φρονήσεως κειμήλιον σεπτόν.

Ὀ φλημάτων λύσιν

ὑπέρ πάντων Χριστόν

ἐκδυσώπει ὡς μετέχουσα Χάριτος,

ἁγιάζουσα ψυχάς τῶν εὐσεβῶν.

Π ρυτανεῖον θεῖον

καί ταμεῖον σεπτόν

τῶν παρθένων τῇ χορείᾳ παρίστασαι

μοναζόντων τε πολύφωτος ἀστήρ.

Ῥ ύπου τῆς ψυχῆς μου,

ἀσθενείας σαρκός,

καί παθῶν τοῦ φλογισμοῦ με ἀπάλλαξον,

τήν προστρέχουσαν, Μακρῖνα, σαῖς λιταῖς.

Σ τήριγμα τυγχάνεις

καί σαφής ὁδηγός

συνωνύμων σου, Μακρῖνα θεόσεμνε,

ἵνα τύχωσιν ἐνθέου φωτισμοῦ.

Τ ετρωμένη πόθῳ

γλυκυτάτου Χριστοῦ,

τοῦ ἐχθροῦ τάς μεθοδείας ἠμαύρωσας,

ὥσπερ ἄσαρκος βιοῦσα ἐν σαρκί.

Ὑ μνωδίαν, Μῆτερ,

ἐκ χειλέων ἐμῶν

εὐαρέστως νῦν προσδέχου καί πλήρωσον

τά αἰτήματα τεκνίου σου πιστοῦ.

Φ αεινόν δοχεῖον

Παρακλήτου, Σεμνή,

καί παρθένων τό ἀκράδαντον ἔρεισμα

κατεδείχθης βιοτεύσασα σεπτῶς.

Χ αίρει Ἐκκλησία

καί αἰνεῖ ἐν ᾠδαῖς

τήν ἑπτάριθμον ὁμάδα τοῦ γένους σου,

ὧν Βασίλειον ὡς πρώταρχον τιμᾷ.

Δόξα. Τριαδικόν.

Ψ άλμασι καί ὕμνοις,

ὦ Τριάς ὁ Θεός,

Σέ τιμῶμεν καί βοῶμεν ἐν πνεύματι·

πάντας οἴκτειρον σούς δούλους, Ἀγαθέ.

Καί νῦν. Θεοτοκίον.

Ὡ ς παρθένων τεῖχος,

Θεοτόκε Ἁγνή,

ἐξυμνοῦμέν Σε καί πίστει αἰτούμεθα·

πάντας ῥῦσαι μοναστάς ἐκ τῆς φθορᾶς.

## Στάσις β΄.

Ἦχος πλ. α΄. Ἄξιόν ἐστιν.

Ἄ ξιόν ἐστι

μακαρίζειν σε τῶν μοναζόντων

τάς χορείας πάσας ἐν πέρασι

ὅτι ἵστασαι αὐτοῖς ὥσπερ ἀστήρ.

Ἄ

ξιόν έστι

μεγαλύνειν σε ᾠδαῖς καί ὕμνοις

ὡς παρθενευόντων τόν πρόβολον,

ἄς ὁδήγησον είς βίον καθαρόν.

Κατ' άλφάβητον.

Ά ναρχον Θεόν

καθικέτευε σωθῆναι, Μῆτερ,

πάντας τούς αίτοῦντας πρεσβείας σου

ὅτι ἔχεις παρρησίαν πρός Χριστόν.

Β ίον ἄσαρκον,

ὥσπερ ἄγγελος μετῆλθες Μῆτερ,

σχοῦσα πολιτείαν άκίβδηλον,

ἥνπερ τέκνοις σου έδίδαξας σαφῶς.

Γ ένος μοναστῶν

καθυμνεῖ σε καί δοξάζει πόθῳ

ὅτι διακρίσεως κάτοπτρον

άνεδείχθης καί ψυχῶν μυσταγωγός.

Δ έδωκας ἡμῖν

πανοσίαν βιοτήν σου, Μῆτερ,

τύπον καί κανόνα άλάθητον,

ἵνα τύχωμεν τοῦ θείου φωτισμοῦ.

Έ μπλεως φωτός

καί έλλάμψεως τοῦ Παρακλήτου,

Μῆτερ, κατεστάθης άσκήσεσι,

ἰσαγγέλως βιοτεύσασα ἐν γῇ.

Ζ ήλῳ θεϊκῷ

ἀρετῶν τάς ἐπιδόσεις πάσας

ὥσπερ ἀθλητής ἐξετέλεσας

καί κατέστης Ἐκκλησίας θησαυρός.

Ἤ σκησας καλῶς

καί νομίμως τόν μονήρη βίον

καί τούς πειρασμούς κατενίκησας,

τοῦ ἐχθροῦ καρποφοροῦσα ἐν Χριστῷ.

Θ εία σου εἰκών

χάριν βλύζει καί παρηγορίαν

τοῖς σε καλουμένοις, πανεύφημε,

καί παρέχει εὐλαβέσι ἀρωγήν.

Ἴ δε συμπαθῶς

σόν τεκνίον, ὦ Μακρῖνα Μῆτερ,

ὄνομά σου φέρον τό πάνσεπτον,

ἵνα τύχῃ τῶν πταισμάτων ἱλασμόν.

Κ όσμημα λαμπρόν

τῆς Ὀρθοδοξίας ἀνεδείχθης

καί τῶν μοναζόντων ἑδραίωμα,

οὕς τά κρείττονα σοφῶς μυσταγωγεῖς.

Λ όγον νηπτικόν

διεκήρυττες τῷ σῷ Σεμνείῳ

καί παρθένων δῆμον ἐδίδασκες

τά ἀρέσκοντα Κυρίῳ τῷ Θεῷ.

Μ νήμην ἱεράν

τῆς σεπτῆς Μακρίνης ἐκτελοῦντα

μοναστῶν συστήματα ᾄδουσι

ψαλμῳδίας καί ᾠδάς χρεωστικῶς.

Ν ύμφη τῷ Χριστῷ

ἑκουσίως παρεδόθης, Μῆτερ,

καί παθῶν τήν φλόγα κατέσβησας,

ἀπαθείας καταστᾶσα ὁ κανών.

Ξ ύλον τῆς ζωῆς

τιμιώτατον Σταυρόν Κυρίου,

Μῆτερ, σύ ἐβίωσας πνεύματι,

τά σκιρτήματα σταυρώσασα σαρκός.

Ὄ μβροις σῶν λιτῶν

τῶν παθῶν μου σβέσον φλογοφόρους

ἄνθρακας, Μακρῖνα, καί λύτρωσον

τήν σήν δούλην ἀπό πάσης συμφορᾶς.

Π ῦρ τό νοητόν

ἀγαπήσεως τοῦ σοῦ νυμφίου,

Μῆτερ, ἐκ παιδός σέ κατέκαυσεν

καί ἐδόθης ὁλοψύχως τῷ Χριστῷ.

Ῥ ώμη ἀνδρικῇ

τά παλαίσματα τῶν γυμνασμάτων,

Μῆτερ, διεξῆλθες καί γέγονας

διαυγέστατος ἀστήρ τῶν μοναστῶν.

Σ τέφους νοητοῦ

κατηξίωσαι παρά Κυρίου,

χάρις δέ θαυμάτων σοί δέδοται,

ὦ Μακρῖνα τῶν παρθένων ὁδηγέ.

Τ ρέφεις μυστικῶς

τάς ψυχάς παρθενευόντων, Μῆτερ,

νοητήν σταλάζουσα ἅπασι

εὐφροσύνην καί χαράν πνευματικήν.

Ὕ δασι ζωῆς

καταρδεύεις, Μῆτερ, μοναζόντων

τάς ψυχάς εὐφραίνουσα πνεύματι

καί καρδίας τῶν καλούντων σε πιστῶς.

Φ ώτισον ἡμῶν

τῶν τεκνίων σου τάς τρίβους, Μῆτερ,

ὡς καθηγουμένη ἀλάθητος

καί κατεύθυνον τόν βίον πρός Χριστόν.

Χ είλεσι σεπτοῖς

τῷ Χριστῷ ἀδιαλείπτως, Μῆτερ,

προσευχήν ἀνέπεμπες κράζουσα·

Ἰησοῦ, ἐλέησόν με τήν οἰκτράν.

Δόξα. Τριαδικόν.

Ψ άλλοντες Πατρί,

τῷ Υἱῷ καί Πνεύματι Ἁγίῳ

πανιέροις, Μῆτερ, πρεσβείαις σου

ἐξαιτούμεθα τόν θεῖον ἱλασμόν.

Καί νῦν. Θεοτοκίον.

Ὥ σπερ κιβωτός

Θεοῦ Λόγον ἔφερες κοιλίᾳ,

Μῆτερ τοῦ Ὑψίστου Πανάχραντε,

ὅν ἱκέτευε άεί ὑπέρ ἡμῶν.

## Στάσις γ΄.

Ἦχος γ΄. Αἱ γενεαί πᾶσαι.

Α ἱ γενεαί πᾶσαι

μακαρίζομέν σε,

Μακρῖνα θεοφόρε.

Α ἱ γενεαί πᾶσαι

ὑμνοῦμέν σου τήν χάριν,

Μακρῖνα τρισολβία.

Κατ᾽ ἀλφάβητον.

Α ἶνους σοί, Μακρῖνα,

προσφέρουσιν έν πόθῳ

τῶν μοναστῶν οἱ δῆμοι.

Β ίον ἀσωμάτων

ἐβίωσας έν κόσμῳ,

ἰσάγγελε Μακρῖνα.

Γ

νώμῃ θεαρέστῳ

δουλεύσασα Κυρίῳ

ἐξέλαμψας, Ὁσία.

Δ ύναμιν χορήγει

τοῖς μονασταῖς, Μακρῖνα,

δουλαγωγῆσαι σάρκα.

Ἔ χουσι, Μακρῖνα,

ὑπόδειγμα σόν βίον

συστήματα ἀζύγων.

Ζ ήσασα, Μακρῖνα,

παρθενικῶς ἐν βίῳ

ἐνίσχυσον παρθένους.

Ἡ σεπτή εἰκών σου

παρέχει τοῖς αἰτοῦσι

τῶν αἰτημάτων λύσιν.

Θ αύμασι ἐκφαίνεις,

Μακρῖνα, τήν σήν χάριν

Χριστοῦ τῇ ἐπινεύσει.

Ἴ θυνον παρθένων

τόν δῆμον τῷ Σωτῆρι

ἀσκήσεσι καί πόνοις.

Κ οσμηθεῖσα κόποις

ἀσκητικοῖς ἐγένου

ταμεῖον θείων δώρων.

Λ ύχνος εύσεβείας

καί μυροθήκη θεία,

πιστῶν τε εἶ τό εὖχος.

Μ οναστῶν άκρότης,

άλείπτης εύδρομούντων,

Μακρῖνα, κατεστάθης.

Ν ύμφη τοῦ Δεσπότου

έγένου ἐκουσίως

πρός θείας άναβάσεις.

Ξ ένη ὥσπερ, Μῆτερ,

καί πάροικος έν κόσμῳ

σεμνῶς έπολιτεύσω.

Ὄ ργανον, Μακρῖνα,

τοῦ Πνεύματος κατέστης

καί δεῖγμα σωφροσύνης.

Π ύργος έγκρατείας

σφραγίς τε άπαθείας,

Μακρῖνα, πᾶσι ὤφθης.

Ῥ υσθῆναι έξ άνάγκης

σούς δούλους έκδυσώπει,

Μακρῖνα, τόν Δεσπότην.

Σ κεῦος άνεδείχθης

τῆς θείας έπιπνοίας

συνόμιλος άγγέλων.

Τ ύπος ἀκριβείας

τυγχάνεις ἀσκουμένοις

δεικνύουσα τήν τρίβον.

Ὕ μνους σοί προσφέρει

λαός, θείαν σου μνήμην

τελῶν ἐν κατανύξει.

Φ ύλαττε, Μακρῖνα,

παρθένους καί ἀζύγους

ἀπό παντός κινδύνου.

Χ αῖρέ σοι βοῶμεν,

Μακρῖνα τρισολβία,

ὑμνολογοῦντες πόθῳ.

Δόξα. Τριαδικόν.

Ψ υχῆς μου σωτηρίαν,

Τριάς ἡ ἐν Μονάδι,

χορήγει ὡς Οἰκτίρμων.

Καί νῦν. Θεοτοκίον.

Ὢ Παρθενομῆτορ,

Μακρίνης ταῖς πρεσβείαις

σκέπε τούς ὀρθοδόξους.

Δίστιχον.

Ἐγκωμίων στίχους σοί Ὁσιωτάτη

Γεώργιος ἔπλεξεν Μακρίνης χάριν.